πάς, αἵ[1]) ὑπὸ Πέτρου τοῦ βασιλέως καὶ τοῦ Σαμουὴλ ἐδεσπόζοντο καὶ κατείχοντο καὶ παρὰ τῶν τότε ἀρχιεπισκόπων, καὶ τὰ λοιπὰ ἅπαντα κάστρα τὰ αὐτὰ θεσπίζομεν ἔχειν καὶ διακρατεῖν καὶ[2]) τὸν νυνὶ ἁγιώτατον ἀρχιεπίσκοπον· οὐ γὰρ ἀναιμωτὶ καὶ πόνων χωρὶς καὶ ἱδρώτων, ἀλλὰ διὰ καρτερίας πολυετοῦς[3]) καὶ συμμαχίας θεϊκῆς ὑπόσπονδον τὴν χώραν ταύτην ὁ θεὸς ἡμῖν ἐδωρήσατο, τῆς ἀγαθότητος αὐτοῦ εὖ μάλα τρανῶς ἡμῖν ἀρωγούσης καὶ τὰ διεστῶτα εἰς ἓν συναπτούσης, ὑπὸ ζυγὸν ἕνα θέμενης τοὺς ὅρους καὶ τοὺς τύπους[4]) τοὺς καλῶς παρὰ τῶν πρὸ ἡμῶν βασιλευσάντων θεσπισθέντας μηδὲν λυμηναμένης· εἰ γὰρ τῆς χώρας ἐγκρατεῖς ἐγενόμεθα, ἀλλὰ τὰ ταύτης δίκαια ἀπαράσπαστα διετηρήσαμεν ἐπικυροῦντες αὐτὰ διὰ χρυσοβούλλων καὶ σιγιλλίων ἡμῶν. καὶ τὸν νῦν ἁγιώτατον ἀρχιεπίσκοπον Βουλγαρίας τοσαύτην τὴν ἐνορίαν ἔχειν θεσπίζομεν, οἵαν καὶ πόσην εἶχε ἐπὶ Πέτρου τοῦ βασιλέως, καὶ δεσπόζειν καὶ διακατέχειν πάσας τὰς ἐπισκοπὰς Βουλγαρίας, οὐχ ὅσαι δηλαδὴ τῷ προτέρῳ σιγιλλίῳ ἔτυχον τεθεῖσαι, ἀλλὰ καὶ ὅσαι διαλαθοῦσαι οὐ ταύταις συνετάγησαν, καὶ αἱ διὰ τῶν παρόντων σιγιλλίων ἐμφανισθεῖσαι καὶ ἐξ

всичкитѣ български епископства, които при царь Петра и Самуила се притежаваха и владѣеха отъ тогавашнитѣ архиепископи, както и всички други градове. Защото не безъ кръвь, не безъ трудъ и поть, а съ многогодишно търпение и съ божия помощь тая страна ни се подари отъ Бога, чиято благость явно ни помагаше, та да се съедини подъ единъ яремъ раздѣленото, безъ да се нарушатъ границитѣ и наредбитѣ, добре установени отъ царствуващитѣ преди насъ. Защото, ако и да станахме господарь на тая страна (България), запазихме непокѫтнати нейнитѣ права, като ги потвърдихме съ наши хрисовули и грамоти. Сѫщо и сегашниятъ архиепископъ на България постановяваме да има толкава епархия, колкава е била при царь Петра, и да владѣе и управява всички епископства на България, т. е. не само ония, които бѣха изброени въ първата грамота, но и тия, които сѫ били пропустнати и неизредени тамъ и които въ тая грамота се обявяватъ и поименно излагатъ. И на тѣхъ (епископства), както и на останалитѣ, подаряваме клирици и парици,

[1]) ἅς у *Г.*
[2]) Липсва у *Г.*
[3]) πολυτελοῦς *Г.*
[4]) τὸν τύπον *Г.*